eul_wid: qvi-aa

*Ὀππιανοῦ Βίοι* · Oppian Lives

# Life of Oppian of Anazarbus

*Βίος Ὀππιανοῦ Ἀναζαρβοῦ*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

1 Ἀνάζαρβος ἐπὶ Κιλικίᾳ πόλις ἡ πατρὶς Ἀγησιλάου πατρὸς Ὀππιανοῦ τοῦ ποιητοῦ. ὁ δὲ Ἀγησίλαος οὗτος περίβλεπτος ἦν καὶ γένει καὶ δόξῃ καὶ πλούτῳ καὶ σοφίᾳ πάσῃ καὶ ἀρετῇ, ἐφ' ἧς καὶ τὸν υἱὸν ἐξεπαίδευσεν. οὐκ ἔμελλεν εἰς τέλος τὸν φθόνον διαφυγεῖν· διὸ καὶ συμφορᾷ περιπέπτωκε ἐξ ἀδήλου. Σεβῆρος γὰρ ὁ Ῥωμαίων Καῖσαρ ἤτοι βασιλεὺς τῇ Κιλικίᾳ ἐπεχωρίασε· καὶ ἐπεὶ μὴ λαμπρὰν αὐτῷ ὑπάντην ἐποιήσατο περίφημος ὢν ἐν πλούτῳ καὶ δόξῃ, ὑπερορίας κατεδίκασεν αὐτόν· καὶ ἡ περὶ τὸν Ἀδρίαν νῆσος Μελιτίνη αὐτίκα τοῦτον ἐδέξατο τὸν υἱὸν συμπαραλαβόντα. ἔνθα καὶ πατρικῶς αὐτὸν ἐδίδαξε καὶ φορτίδα ὅ φασι τῆς σοφίας ἀνάπλεον ἐποιήσατο. ὁ δὲ παῖς ὁ καλὸς οὗτος Ὀππιανὸς ἀκριβωσάμενος καὶ καταμαθὼν μετὰ θάνατον Σεβήρου ὁποῖος τὴν φύσιν Ἀντωνῖνός ἐστιν ὁ τοῦ πατρὸς τὸ κράτος διαδεξάμενος καὶ οὗτος ὅτι τοῖς κυνηγεσίοις προκλίνει καὶ ἐπαγάλλεται, τὰς ἀφὰς τοῦ λόγου παραλαβὼν καὶ συναγαγὼν καὶ ἐγκλείσας ἑαυτὸν πᾶσαν θήραν ἐνενοήσατο τὴν περὶ τὰ τρία στοιχεῖα, τὸν ἀέρα, τὸ ὕδωρ καὶ τὴν γῆν παρὰ ἀνθρώπων ἐπιτεχνηθεῖσαν, οὐ μόνον δὲ ἀλλὰ καὶ ἐν παρόδῳ περὶ τῶν τριῶν διαλέγεται γενῶν, τῶν ἀερίων φημὶ ζῴων, τῶν εἰναλίων καὶ τῶν χερσαίων, ὁπόσα τέ εἰσι ταῦτα ἐν τῷ καθ' ἕκαστον τῶν στοιχείων καὶ ὅπου νέμονται καὶ ὅπως συνευνάζονται καὶ τὰ περὶ τόκου αὐτῶν καὶ νοήματος, εἰς τὰ τελευταῖα, ὡς ἔφημεν, περὶ τῆς ἄγρας αὐτῶν τὴν διάληψιν εὖ ἐποιήσατο καὶ εἰς Ῥώμην ἐλθὼν τρισὶ βιβλίοις τὴν πραγματείαν ταύτην ἐκθέμενος Ἀντωνίνῳ βασιλεῖ ἐνεχείρισεν. ὁ δὲ σοφὸς ὢν ἠγάσθη τῆς σοφίας τὸν ποιητὴν καὶ τὸ εὔρυθμον ἐπῄνεσε τοῦ ποιητοῦ τῶν ἐπῶν καὶ τὸ καθαρὸν καὶ σαφὲς τῆς φράσεως ἐμεγάλυνε καὶ αὐτὸ δὲ τὸ νόημα κατεπλάγη καὶ χάριτος αὐτῷ ὡμολόγησε καὶ ἐκέλευσε ζητῆσαι τὸ αὐτῷ τῷ ποιητῇ βουλητέον· ὁ δὲ τοῦ πατρὸς τὴν ἀνάρρυσιν ἐξῃτήσατο καὶ ἔλαβε ταύτην· πρὸς δὲ καὶ ἰσάριθμοι στατῆρες ὅσα καὶ ἔπη ταῖς βίβλοις ἐν απετέθησαν.